πυθ¦μένες θάλλουσιν ἐσθλ[ῶν,
τοὺς ὁ μεγιστοπάτωρ
Ζεὺς ἀκινήτους ἐν εἰρήν[ᾱι φυλάσσοι.

## 6

## ΛΑΧΩΝΙ ΚΕΙΩΙ

### ⟨ΠΑΙΔΙ⟩ ΣΤΑΔΙΕΙ ΟΛΥΜΠ[ΙΑ

metrum: aeolicum (v. p. 28*) Α′—Β′

1 ∪ — ∪ — ∪ — — | ∪∪ — ∪ — ∪ — — || *ia ba | anaclom*
3 — ∪∪ — — ∪∪ — ∪ — — | ∪ — ∪∪ — ∪ | *2 cho ba | reiz*
5 — ∪ — ∪ — ∪ — || *lec*
6 ∪ — — ∪∪ — ∪ —
— ∪ — ∪∪ — ∪ — — | ∪∪ — ∪ — — ||| } *2 gl cho ba*

Α′
Λάχων Διὸς μεγίστου
λάχε φέρτατον πόδεσσι
κῦδος ἐπ᾿ Ἀλφεοῦ προχοαῖσ[ι νικῶν
δι᾿ ὅσσα πάροιθεν
ἀμπελοτ¦ρόφον Κέον
ἄεισάν ποτ᾿ Ὀλυμπίᾱι
πύξ τε καὶ στάδιον κρατεῦ[σαν
στεφάνοις ἐθείρας

Β′
νεανίαι βρύοντες.
σὲ δὲ νῦν ἀναξιμόλπου
Οὐρανίας ὕμνος ἕκατι Νίκ[ας,
Ἀριστομένειον